πόλεως. ἦν οὖν ἐπιζήτησις αὐτῶν καί τις ἥπτετο δεισι-
δαιμονία τῶν ἱερέων ἄναυλα θυόντων. ἐπεὶ δ' οὐκ ἐπεί-
θοντο μεταπεμπομένοις ἀλλ' ἐν Τιβοῦρι διέτριβον, ἀνὴρ
ἀπελεύθερος κρύφα τοῖς ἄρχουσιν ἐπηγγείλατο κατάξειν
αὐτούς. καὶ παρασκευάσας θοίνην ἄφθονον ὡς τεθυκὼς
θεοῖς ἐκάλεσε τοὺς αὐλητάς· καὶ γύναια παρῆν ἅμα τῷ
πότῳ καὶ παννυχὶς συνεκροτεῖτο παιζόντων καὶ χορευόν-
278 των. εἶτ' ἐξαίφνης ὁ ἄνθρωπος ἐμβαλὼν λόγον ὡς τοῦ |
πάτρωνος ἐπιόντος αὐτῷ καὶ ταραττόμενος συνέπεισε
τοὺς αὐλητὰς ἀναβάντας ἐφ' ἁμάξας δέρρεσι κύκλῳ
περικαλυπτομένας εἰς τὸ Τιβοῦρ κομίζεσθαι. τοῦτο δ'
ἦν ἀπάτη· περιαγαγὼν γὰρ τὰς ἁμάξας οὐ συνορῶντας
αὐτοὺς διὰ τὸν οἶνον καὶ τὸ σκότος ἔλαθεν εἰς Ῥώμην
καταγαγὼν ἅπαντας ἕωθεν· ἐτύγχανον δ' οἱ πολλοὶ διὰ
τὴν παννυχίδα καὶ τὸν πότον ἐν ἐσθῆσιν ἀνθιναῖς καὶ
γυναικείαις ὄντες. ὡς οὖν ἐπείσθησαν ὑπὸ τῶν ἀρχόν-
B των καὶ διηλλάγησαν, ἐνομίσθη τὴν ἡμέραν ἐκείνην
οὕτως ἀμπεχομένους σοβεῖν διὰ τῆς πόλεως.

**56.** 'Διὰ τί τὸ τῆς Καρμέντης ἱερὸν ἐξ ἀρχῆς δοκοῦ-
σιν αἱ μητέρες ἱδρύσασθαι καὶ νῦν μάλιστα σέβονται;'
λέγεται γάρ τις λόγος, ὡς ἐκωλύθησαν ὑπὸ τῆς βουλῆς
αἱ γυναῖκες ὀχήμασι χρῆσθαι ζευκτοῖς· συνέθεντο οὖν
ἀλλήλαις μὴ κυΐσκεσθαι μηδὲ τίκτειν ἀμυνόμεναι τοὺς
ἄνδρας, ἄχρις οὗ μετέγνωσαν καὶ συνεχώρησαν αὐταῖς·
γενομένων δὲ παίδων εὐτεκνοῦσαι καὶ πολυτεκνοῦσαι τὸ
τῆς Καρμέντης ἱερὸν ἱδρύσαντο. τὴν δὲ Καρμένταν οἱ
μὲν Εὐάνδρου μητέρα λέγουσιν οὖσαν ἐλθεῖν εἰς Ἰταλίαν
C ὀνομαζομένην Θέμιν, ὡς δ' ἔνιοι, Νικοστράτην· ἐμμέτρους
δὲ χρησμοὺς ᾄδουσαν ὑπὸ τῶν Λατίνων Καρμένταν